πάσχειν τὸ ποιεῖν κακῶς βλαβερώτερον. ἐπιρρητέον δὲ καὶ τῷ B τοῦ *Αἰσχύλου* (fr. 352)

'θάρσει· πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνον'

ὅτι τοῦτ' ἐστὶ τὸ παρ' Ἐπικούρου θρυλούμενον ἀεὶ καὶ θαυμαζόμενον, ὡς 'οἱ μεγάλοι πόνοι συντόμως ἐξάγουσιν, οἱ δὲ χρόνιοι μέγεθος οὐκ ἔχουσιν'. ὧν τὸ μὲν εἴρηκεν ὁ *Αἰσχύλος* ἐναργῶς, τὸ δὲ τῷ εἰρημένῳ παρακείμενόν ἐστιν· εἰ γὰρ ὁ μέγας καὶ σύντονος οὐ παραμένει πόνος, οὐκ ἔστι μέγας ὁ παραμένων οὐδὲ δυσεγκαρτέρητος. τὰ δὲ τοῦ **Θέσπιδος** ταυτί (Fr. Tr. p. 833)

'ὁρᾷς ὅτι Ζεὺς τῷδε πρωτεύει θεῶν,
οὐ ψεῦδος οὐδὲ κόμπον οὐ μῶρον γέλων
ἀσκῶν· τὸ δ' ἡδὺ μοῦνος οὐκ ἐπίσταται' C

τί διαφέρει τοῦ 'πόρρω γὰρ ἡδονῆς καὶ λύπης ἵδρυται τὸ θεῖον', ὡς *Πλάτων* ἔλεγε (Epist 315c). τὸ δέ

'φάσω μέγιστον
κῦδος ἔχειν ἀρετάν·
πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ'

λεγόμενον ὑπὸ τοῦ *Βακχυλίδου* (*I* 21) καὶ πάλιν ὑπὸ τοῦ *Εὐριπίδου* παραπλησίως (fr. 959)

'ἐγὼ δ'
οὐδὲν πρεσβύτερον νομίζω τᾶς σωφροσύνας, ἐπεί
τοῖς ἀγαθοῖς ἀεὶ ξύνεστι'

καὶ τό (fr. 960)

'τί μάταν πέπασθε, πλούτῳ δ' ἀρετὰν κατεργάσεσθαι δοκεῖτε . . . ἐν ἐσθλοῖς δὲ καθήσεσθ' ἄνολβοι'